# ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

*Salutation*

1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ* διὰ
θελήματος Θεοῦ, τοῖς ἁγίοις τοῖς οὖσιν ἐν
Ἐφέσῳ,† καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ· 2 Χάρις
ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ
Κυρίου Ἰησοῦ Χριστοῦ.

## Some concentrated theology

*A paean of doctrinal praise*

3 Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν
πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις
ἐν Χριστῷ· 4 καθὼς‡ ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ
πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους
καὶ ἀμώμους κατενώπιον αὐτοῦ, ἐν ἀγάπῃ,
5 προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ
Χριστοῦ, εἰς αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ
θελήματος αὐτοῦ, 6 εἰς ἔπαινον δόξης τῆς
χάριτος αὐτοῦ, ἐν ᾗ § ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ
ἠγαπημένῳ· 7 ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν
διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν
παραπτωμάτων, κατὰ τὸν πλοῦτον* τῆς

---

* **1:1** ιησου χριστου **f**35 ℵA [98%] RP,HF,OC,TR,CP ¦ 21 𝔓46B [2%] NU † **1:1** εν εφεσω **f**35 (A) (99.2%) RP,HF,OC,TR,CP[NU] ¦ — (𝔓46)ℵB (0.8%) ‡ **1:4** καθως *rell* ¦ 1 και OC § **1:6** εν η **f**35 [97%] RP,HF,OC,TR,CP ¦ ης 𝔓46ℵA,B [3%] NU * **1:7** τον πλουτον **f**35 [97%] RP,HF,OC,TR,CP ¦ το πλουτος 𝔓46ℵA,B [3%] NU ¦ one other reading

χάριτος αὐτοῦ, 8 ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς
ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει, 9 γνωρίσας
ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ,
κατὰ τὴν εὐδοκίαν αὐτοῦ ἣν προέθετο ἐν
αὐτῷ, 10 εἰς οἰκονομίαν τοῦ πληρώματος
τῶν καιρῶν, ἀνακεφαλαιώσασθαι τὰ
πάντα ἐν τῷ Χριστῷ—τὰ ἐπὶ† τοῖς οὐρανοῖς
καὶ τὰ ἐπὶ τῆς γῆς—ἐν αὐτῷ, 11 ἐν ᾧ καὶ
ἐκληρώθημεν, προορισθέντες κατὰ πρόθεσιν
τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν
τοῦ θελήματος αὐτοῦ, 12 εἰς τὸ εἶναι
ἡμᾶς εἰς ἔπαινον τῆς‡ δόξης αὐτοῦ, τοὺς
προηλπικότας ἐν τῷ Χριστῷ· 13 ἐν ᾧ καί,
ἡμεῖς§ ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας—
τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν· ἐν ᾧ, καὶ
πιστεύσαντες, ἐσφραγίσθητε τῷ Πνεύματι
τῆς ἐπαγγελίας τῷ Ἁγίῳ, 14 ὅς* ἐστιν ἀρραβὼν
τῆς κληρονομίας ἡμῶν εἰς ἀπολύτρωσιν τῆς
περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.

*Some doctrinal praying*

15 Διὰ τοῦτο κἀγώ, ἀκούσας τὴν καθ᾽
ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ καὶ τὴν
ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους,† 16 οὐ

---

† **1:10** επι **f**35 𝔭46אB [70%] RP,HF,OC,NU ¦ εν A [28%] CP ¦ τε εν [2%] TR ‡ **1:12** της **f**35 A [30%] TR ¦ — אB [70%] RP,HF,OC,CP,NU § **1:13** ημεις **f**35 A [60%] ¦ υμεις 𝔭46אB [40%] RP,HF,OC,TR,CP,NU * **1:14** ος **f**35 א [90%] RP,HF,OC,TR,CP ¦ ο 𝔭46A,B [10%] NU † **1:15** αγαπην την εις παντας τους αγιους **f**35 (94.4%) RP,HF,OC,TR,CP,NU ¦ 3456 𝔭46אA,B (1.3%) ¦ 34561 (3.8%) ¦ three other variants (0.5%) (The ‘Alexandrian’ variant is an easy case of homoioteleuton.)

παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, μνείαν
ὑμῶν‡ ποιούμενος ἐπὶ τῶν προσευχῶν
μου· 17 ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν, Ἰησοῦ
Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, δῴη ὑμῖν πνεῦμα
σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει
αὐτοῦ, 18 πεφωτισμένους τοὺς ὀφθαλμοὺς
τῆς καρδίας§ ὑμῶν,* εἰς τὸ εἰδέναι ὑμᾶς
τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ†
τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας
αὐτοῦ ἐν τοῖς ἁγίοις, 19 καὶ τί τὸ ὑπερβάλλον
μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς
πιστεύοντας, κατὰ τὴν ἐνέργειαν τοῦ κράτους
τῆς ἰσχύος αὐτοῦ 20 ἣν ἐνήργησεν ἐν τῷ
Χριστῷ ἐγείρας αὐτὸν ἐκ τῶν‡ νεκρῶν
καὶ ἐκάθισεν§ ἐν δεξιᾷ αὐτοῦ, ἐν τοῖς
ἐπουρανίοις, 21 ὑπεράνω πάσης ἀρχῆς καὶ
ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος—καὶ
παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν
τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι.
22 Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας
αὐτοῦ, καὶ αὐτὸν ἔδωκεν κεφαλὴν ὑπὲρ
πάντα τῇ Ἐκκλησίᾳ, 23 ἥτις ἐστὶν τὸ σῶμα
αὐτοῦ, τὸ πλήρωμα τοῦ τὰ* πάντα ἐν πᾶσιν

---

‡ **1:16** υμων **f35** (94%) RP,HF,OC,TR,CP ¦ — 𝔭46אA,B (5%) NU ¦ two other readings (1%) § **1:18** καρδιας *rell* ¦ διανοιας [5%] TR * **1:18** υμων **f35** אA [98%] RP,HF,OC,TR,CP[NU] ¦ — 𝔭46B [2%] † **1:18** και **f35** [97%] RP,HF,OC,TR,CP ¦ — 𝔭46אA,B [3%] NU ‡ **1:20** των **f35** 𝔭46 [80%] RP,HF,CP ¦ — אA,B [20%] OC,TR,NU § **1:20** εκαθισεν **f35** (86%) RP,HF,OC,TR,CP ¦ εκαθησεν (4.3%) ¦ καθισας 𝔭92B (5.1%) NU ¦ καθησας (1.3%) ¦ καθισας αυτον אA (2.5%) ¦ two other variants (0.6%) * **1:23** τα *rell* ¦ — [5%] TR

πληρουμένου.

# 2

*Our position in Christ*

1 Καὶ ὑμᾶς,* ὄντας νεκροὺς τοῖς
παραπτώμασιν καὶ ταῖς ἁμαρτίαις,† 2 ἐν
αἷς ποτε περιεπατήσατε, κατὰ τὸν Αἰῶνα
τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς
ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν
ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας·
3 ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν
ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν,
ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν
διανοιῶν, καὶ ἦμεν‡ τέκνα φύσει§ ὀργῆς,
ὡς καὶ οἱ λοιποί. 4 Ὁ δὲ Θεός—πλούσιος
ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν
ἠγάπησεν ἡμᾶς, 5 καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς
παραπτώμασιν—συνεζωοποίησεν τῷ Χριστῷ
(χάριτί ἐστε σεσωσμένοι) 6 καὶ συνήγειρεν καὶ
συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ
Ἰησοῦ, 7 ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσιν τοῖς
ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον*
τῆς χάριτος αὐτοῦ, ἐν χρηστότητι ἐφ᾽ ἡμᾶς
ἐν Χριστῷ Ἰησοῦ. 8 Τῇ γὰρ χάριτί ἐστε

---

* **2:1** υμας *rell* ¦ ημας [10%] † **2:1** αμαρτιαις **f**35 [95%] RP,HF,OC,TR,CP ¦ 1 υμων 𝔓46אB [5%] NU ¦ 1 εαυτων A ‡ **2:3** ημεν **f**35 A [98%] RP,HF,OC,TR,CP ¦ ημεθα 𝔓46אB [2%] NU ¦ one other reading § **2:3** τεκνα φυσει *rell* ¦ 21 A [9%] ¦ 1 [1%]
* **2:7** τον υπερβαλλοντα πλουτον **f**35 (95.8%) RP,HF,OC,TR,CP ¦ το υπερβαλλον πλουτος 𝔓46A,B (2.7%) NU ¦ omit whole verse or more א (1.5%)

σεσωσμένοι, διὰ τῆς† πίστεως—καὶ τοῦτο
οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον— 9 οὐκ ἐξ ἔργων,
ἵνα μή τις καυχήσηται. 10 Αὐτοῦ γάρ ἐσμεν
ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ‡
ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς ἵνα
ἐν αὐτοῖς περιπατήσωμεν.

### *Once far, now near in Christ*

11 Διό, μνημονεύετε ὅτι ὑμεῖς ποτε§ τὰ ἔθνη
ἐν σαρκί—οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς
λεγομένης περιτομῆς (ἐν σαρκὶ χειροποιήτου)—
12 ὅτι ἦτε ἐν* τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ,
ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ
καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας,
ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ.
13 Νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἱ ποτὲ ὄντες
μακρὰν ἐγγὺς ἐγενήθητε† ἐν τῷ αἵματι τοῦ
Χριστοῦ.

### *Two into one*

14 Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας
τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον‡ τοῦ
φραγμοῦ λύσας, 15 τὴν ἔχθραν ἐν τῇ σαρκὶ
αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασιν
καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ§

---

† **2:8** της **f**35 A [96%] RP,HF,OC,TR,CP ¦ — אB [4%] NU ‡ **2:10** επι *rell* ¦ επ [30%] § **2:11** υμεις ποτε **f**35 [96%] RP,HF,OC,TR,CP ¦ 21 𝔭46אA,B [4%] NU ¦ two other readings * **2:12** εν **f**35 𝔭46 [98%] RP,HF,OC,TR,CP ¦ — אA,B [2%] NU † **2:13** εγγυς εγενηθητε **f**35 [96%] RP,HF,OC,TR,CP ¦ 21 (𝔭46)אA,B [4%] NU ‡ **2:14** μεσοτοιχον *rell* ¦ μεσοτυχον [10%] § **2:15** εαυτω **f**35 [96%] RP,HF,OC,TR,CP ¦ αυτω 𝔭46אA,B [4%] NU

εἰς ἕνα καινὸν ἄνθρωπον (ποιῶν εἰρήνην),
16 καὶ ἀποκαταλλάξῃ* τοὺς ἀμφοτέρους
ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ
(ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ). 17 Καὶ
ἐλθὼν εὐηγγελίσατο εἰρήνην ἡμῖν,† τοῖς
μακρὰν καὶ‡ τοῖς ἐγγύς, 18 ὅτι δι᾽ αὐτοῦ
ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ
Πνεύματι πρὸς τὸν Πατέρα.
19 Ἄρα οὖν, οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι,
ἀλλὰ§ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ
Θεοῦ, 20 ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ
τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος*
ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ·† 21 ἐν
ᾧ πᾶσα‡ οἰκοδομή, συναρμολογουμένη, αὔξει
εἰς ναὸν ἅγιον ἐν Κυρίῳ· 22 ἐν ᾧ καὶ ὑμεῖς
συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ
ἐν πνεύματι.

# The ‘secret’ revealed to Paul

## 3

1 Τούτου χάριν ἐγώ, Παῦλος, ὁ δέσμιος τοῦ
Χριστοῦ Ἰησοῦ* ὑπὲρ ὑμῶν τῶν ἐθνῶν†—

---

* **2:16** αποκαταλλαξῃ *rell* ¦ αποκαταλλαξει [10%] † **2:17** ημιν **f**[35] [40%] ¦ υμιν 𝔓[46]אA,B [60%] RP,HF,OC,TR,CP,NU ‡ **2:17** και **f**[35] (93.4%) RP,HF,OC,TR,CP ¦ 1 ειρηνην 𝔓[46]אA,B (6.3%) NU ¦ — (0.3%) § **2:19** αλλα **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ 1 εστε אB [1%] NU ¦ αλλ εστε A,C [3%] ¦ 1 και [1%] * **2:20** οντος *rell* ¦ οντως [10%] † **2:20** αυτου ιησου χριστου **f**[35] C [96%] RP,HF,OC,TR,CP ¦ 132 A,B [3%] NU ¦ του 3 א [1%] ‡ **2:21** πασα **f**[35] אB [95%] RP,HF,OC,CP,NU ¦ 1 η A,C [5%] TR * **3:1** ιησου **f**[35] 𝔓[46]A,B(C) [97%] RP,HF,OC,TR,CP[NU] ¦ — א [3%] † **3:1** των εθνων *rell* ¦ — CP

2 εἴ γε‡ ἠκούσατε τὴν οἰκονομίαν τῆς
χάριτος τοῦ Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς,
3 ὅτι§ κατὰ ἀποκάλυψιν ἐγνώρισέν* μοι τὸ
μυστήριον (καθὼς προέγραψα ἐν ὀλίγῳ,
4 πρὸς ὃ δύνασθε, ἀναγινώσκοντες, νοῆσαι
τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ),
5 ὃ† ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς
τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς
ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν‡
Πνεύματι·§ 6 εἶναι τὰ ἔθνη συγκληρονόμα
καὶ σύσσωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας
αὐτοῦ* ἐν τῷ Χριστῷ† διὰ τοῦ εὐαγγελίου,
7 οὗ ἐγενόμην‡ διάκονος κατὰ τὴν δωρεὰν τῆς
χάριτος τοῦ Θεοῦ, τὴν δοθεῖσάν§ μοι κατὰ
τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ.
8 Ἐμοί, τῷ ἐλαχιστοτέρῳ πάντων* ἁγίων,
ἐδόθη ἡ χάρις αὕτη, ἐν† τοῖς ἔθνεσιν

‡ **3:2** ειγε *rell* ¦ 1 και CP § **3:3** οτι **f**[35] ℵA,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ —𝔭[46]B [1%] * **3:3** εγνωρισεν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ εγνωρισθη 𝔭[46]ℵA,B,C [5%] NU † **3:5** ο **f**[35] 𝔭[46]ℵA,B,C [95%] RP,HF,OC,NU ¦ 1 εν [5%] TR,CP ‡ **3:5** εν *rell* ¦ — CP § **3:5** πνευματι **f**[35] 𝔭[46]ℵA,B,C [85%] RP,HF,OC,TR,NU ¦ 1 αγιω [15%] CP * **3:6** αυτου **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ — 𝔭[46]ℵA,B,C [3%] NU † **3:6** τω χριστω **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ 2 ιησου 𝔭[46]ℵA,B,C [4%] NU ‡ **3:7** εγενομην **f**[35] C [96%] RP,HF,OC,TR,CP ¦ εγενηθην 𝔭[46]ℵA,B [4%] NU § **3:7** την δοθεισαν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ της δοθεισης 𝔭[46]ℵA,B,C,I [5%] NU * **3:8** παντων **f**[35] 𝔭[46]ℵA,B,C [95%] RP,HF(CP)NU ¦ 1 των [5%] OC,TR (CP omits αγιων.) † **3:8** εν **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ — 𝔭[46]ℵA,B,C [2%] NU

εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον‡
τοῦ Χριστοῦ, 9 καὶ φωτίσαι πάντας§
τίς ἡ οἰκονομία* τοῦ μυστηρίου τοῦ
ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ
τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ·†
10 ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς
ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις, διὰ τῆς
Ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ,
11 κατὰ πρόθεσιν τῶν αἰώνων ἣν ἐποίησεν
ἐν‡ Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, 12 ἐν ᾧ
ἔχομεν τὴν παρρησίαν καὶ τὴν§ προσαγωγὴν
ἐν πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ. 13 Διὸ
αἰτοῦμαι μὴ ἐκκακεῖν* ἐν ταῖς θλίψεσίν μου
ὑπὲρ ὑμῶν, ἥτις ἐστὶν δόξα ὑμῶν.

### *Prayer*

14 Τούτου χάριν κάμπτω τὰ γόνατά μου
πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ,† 15 ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς
καὶ ἐπὶ γῆς ὀνομάζεται, 16 ἵνα δῴη‡ ὑμῖν,

---

‡ **3:8** τον ανεξιχνιαστον πλουτον **f**35 [98%] RP,HF,OC,TR,CP ¦ το ανεξιχνιαστον πλουτος 𝔭46אA,B,C [2%] NU § **3:9** παντας **f**35 𝔭46B,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ — אA [1%] * **3:9** οικονομια **f**35 𝔭46אA,B,C [90%] RP,HF,OC,TR,CP ¦ κοινωνια [10%] TR † **3:9** δια ιησου χριστου **f**35 [96%] RP,HF,OC,TR,CP ¦ — 𝔭46אA,B,C [4%] NU ‡ **3:11** εν **f**35 א [98%] RP,HF,OC,TR,CP ¦ 1 τω 𝔭46A,B,C [2%] NU § **3:12** την **f**35 C [98%] RP,HF,OC,TR,CP ¦ — 𝔭46אA,B [2%] NU * **3:13** εκκακειν **f**35 C [98%] RP,HF,OC,TR,CP ¦ εγκακειν (𝔭46)א(A,B) [2%] NU † **3:14** του κυριου ημων ιησου χριστου **f**35 [97%] RP,HF,OC,TR,CP ¦ — 𝔭46אA,B,C [3%] NU ‡ **3:16** δωη **f**35 [97%] RP,HF,OC,TR,CP ¦ δω 𝔭46אA,B,C [3%] NU

κατὰ τὸν πλοῦτον§ τῆς δόξης αὐτοῦ· δυνάμει
κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς
τὸν ἔσω ἄνθρωπον· 17 κατοικῆσαι τὸν Χριστὸν
διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, ἐν
ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι 18 ἵνα
ἐξισχύσητε καταλαβέσθαι (σὺν πᾶσιν τοῖς
ἁγίοις) τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ
ὕψος·* 19 γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς
γνώσεως ἀγάπην τοῦ Χριστοῦ—ἵνα πληρωθῆτε
εἰς πᾶν τὸ Πλήρωμα τοῦ Θεοῦ.
20 Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι
ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν,
κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν,
21 αὐτῷ ἡ δόξα ἐν τῇ Ἐκκλησίᾳ† ἐν Χριστῷ
Ἰησοῦ, εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν
αἰώνων. Ἀμήν.

# Putting the theology into practice

# 4

*Unity*

1 Παρακαλῶ οὖν ὑμᾶς ἐγώ, ὁ δέσμιος ἐν
Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς
ἐκλήθητε, 2 μετὰ πάσης ταπεινοφροσύνης καὶ
πρᾳότητος,* μετὰ μακροθυμίας, ἀνεχόμενοι

§ **3:16** τον πλουτον **f**35 [97%] RP,HF,OC,TR,CP ¦ το πλουτος 𝔭46ℵA,B,C [3%] NU * **3:18** βαθος και υψος **f**35 ℵA (93.9%) RP,HF,OC,TR,CP ¦ 321 𝔭46B,C,I (5.8%) NU ¦ two other variants (0.3%) † **3:21** εκκλησια **f**35 [95%] RP,HF,OC,TR,CP ¦ 1 και 𝔭46ℵA,B,C [5%] NU * **4:2** πραοτητος **f**35 A [98%] RP,HF,OC,TR,CP ¦ πραυτητος ℵB,C [2%] NU

ἀλλήλων ἐν ἀγάπῃ, 3 σπουδάζοντες τηρεῖν τὴν
ἑνότητα τοῦ Πνεύματος ἐν τῷ συνδέσμῳ τῆς
εἰρήνης. 4 Ἓν σῶμα καὶ ἓν Πνεῦμα (καθὼς καὶ
ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν),†
5 εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, 6 εἷς
Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ
πάντων καὶ ἐν πᾶσιν ἡμῖν.‡

### *Building up the body*

7 Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ
τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. 8 Διὸ
λέγει, «Ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν
αἰχμαλωσίαν, καὶ§ ἔδωκεν δόματα τοῖς
ἀνθρώποις.» 9 (Τὸ δὲ ‹ἀνέβη› τί ἐστιν εἰ μὴ
ὅτι καὶ κατέβη πρῶτον* εἰς τὰ κατώτερα μέρη†
τῆς γῆς; 10 Ὁ καταβὰς αὐτός ἐστιν καὶ ὁ
ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα
πληρώσῃ τὰ πάντα.) 11 Καὶ αὐτὸς ἔδωκεν
τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας,
τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ
διδασκάλους, 12 πρὸς τὸν καταρτισμὸν τῶν
ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ
σώματος τοῦ Χριστοῦ, 13 μέχρι καταντήσομεν‡
οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ
τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα

---

† **4:4** υμων *rell* ¦ ημων CP ‡ **4:6** ημιν **f**35 [90%] RP,HF,OC,CP ¦ υμιν [5%] TR ¦ — 𝔭46אA,B,C [5%] NU § **4:8** και **f**35 B,C [97%] RP,HF,OC,TR,CP ¦ — 𝔭46אA [3%] NU * **4:9** πρωτον **f**35 B (96.3%) RP,HF,OC,TR,CP ¦ πρωτερον (0.7%) ¦ — (𝔭46)אA,C,I (3%) NU † **4:9** μερη **f**35 אA,B,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ — 𝔭46 [1%] ‡ **4:13** καταντησομεν **f**35 [50%] CP ¦ καταντησωμεν 𝔭46אA,B,C [50%] RP,HF,OC,TR,NU

τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος
τοῦ Χριστοῦ· 14 ἵνα μηκέτι ὦμεν νήπιοι,
κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ
ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν
ἀνθρώπων ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν§
τῆς πλάνης· 15 ἀληθεύοντες δὲ ἐν ἀγάπῃ,
αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα ὅς ἐστιν ἡ
κεφαλή, ὁ Χριστός·* 16 ἐξ οὗ πᾶν τὸ σῶμα,
συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ
πάσης ἁφῆς τῆς ἐπιχορηγίας, κατ᾽ ἐνέργειαν
ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους, τὴν αὔξησιν
τοῦ σώματος ποιεῖται† εἰς οἰκοδομὴν ἑαυτοῦ
ἐν ἀγάπῃ.

### *Put away the old, put on the new*

17 Τοῦτο οὖν, λέγω καὶ μαρτύρομαι ἐν
Κυρίῳ· μηκέτι ὑμᾶς περιπατεῖν καθὼς καὶ
τὰ λοιπὰ‡ ἔθνη περιπατεῖ, ἐν ματαιότητι
τοῦ νοὸς αὐτῶν, 18 ἐσκοτισμένοι§ τῇ
διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς
τοῦ Θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν
αὐτοῖς διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν,
19 οἵτινες, ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν
τῇ ἀσελγείᾳ, εἰς ἐργασίαν ἀκαθαρσίας πάσης
ἐν πλεονεξίᾳ. 20 Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε

---

§ **4:14** μεθοδειαν $\mathbf{f}^{35}$ C [80%] RP,HF,OC,TR,NU ¦ μεθοδιαν ℵB [20%] CP ¦ μεθοδιας A ¦ one other reading * **4:15** ο χριστος $\mathbf{f}^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ 2 ℵA,B,C [3%] NU ¦ του χριστου $\mathfrak{p}^{46}$ † **4:16** ποιειται *rell* ¦ ποιηται CP ‡ **4:17** λοιπα $\mathbf{f}^{35}$ (91.8%) RP,HF,OC,TR,CP ¦ — $\mathfrak{p}^{46}$ℵA,B,I (5.3%) NU ¦ part of a long omission (2.8%) § **4:18** εσκοτισμενοι $\mathbf{f}^{35}$ [98%] RP,HF,OC,TR,CP ¦ εσκοτωμενοι $\mathfrak{p}^{46,49}$ℵA,B,I [2%] NU

τὸν Χριστόν— 21 εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν
αὐτῷ ἐδιδάχθητε (καθώς ἐστιν ἀλήθεια ἐν τῷ
Ἰησοῦ)· 22 ἀποθέσθαι ὑμᾶς, κατὰ τὴν προτέραν
ἀναστροφήν, τὸν παλαιὸν ἄνθρωπον (τὸν
φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης),
23 ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν,
24 καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, τὸν
κατὰ Θεὸν κτισθέντα, ἐν δικαιοσύνῃ καὶ
ὁσιότητι τῆς ἀληθείας.

*Practical instruction*

25 Διό, ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε*
ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ,
ὅτι ἐσμὲν ἀλλήλων μέλη. 26 Ὀργίζεσθε
καὶ μὴ ἁμαρτάνετε· ὁ ἥλιος μὴ ἐπιδυέτω
ἐπὶ τῷ† παροργισμῷ ὑμῶν, 27 μηδὲ‡ δίδοτε
τόπον τῷ διαβόλῳ. 28 Ὁ κλέπτων μηκέτι
κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος
τὸ ἀγαθὸν ταῖς χερσίν,§ ἵνα ἔχῃ μεταδιδόναι
τῷ χρείαν ἔχοντι. 29 Πᾶς λόγος σαπρὸς ἐκ
τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ᾽*
εἴ τις ἀγαθὸς πρὸς οἰκοδομήν, τῆς χρείας,
ἵνα δῷ χάριν τοῖς ἀκούουσιν. 30 Καὶ μὴ
λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν
ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.
31 Πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ

---

* **4:25** λαλειτε *rell* ¦ 1 την [10%] † **4:26** τω **f**35 [99%] RP,HF,OC,TR,CP[NU] ¦ — 𝔓49אA,B [1%] ‡ **4:27** μηδε **f**35 𝔓46אA,B [85%] RP,HF,OC,CP,NU ¦ μητε [15%] TR § **4:28** το αγαθον ταις χερσιν **f**35 (71.7%) RP,HF,OC,TR ¦ 123 ιδιαις 4 (16%) CP ¦ 12 εν 34 (2%) ¦ 3412 𝔓46,49B,I (1.5%) ¦ 3 ιδιαις 412 אA (7%) [NU] ¦ 12 (0.8%) ¦ four other variants (1%) * **4:29** αλλ *rell* ¦ αλλα B [1%] NU

καὶ βλασφημία ἀρθήτω ἀφ᾽ ὑμῶν, σὺν πάσῃ
κακίᾳ. 32 Γίνεσθε δὲ† εἰς ἀλλήλους χρηστοί,
εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ
ὁ Θεὸς ἐν Χριστῷ‡ ἐχαρίσατο ὑμῖν.§

# 5

*Walk in love*

1 Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ ὡς τέκνα
ἀγαπητά, 2 καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς
καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς καὶ παρέδωκεν
ἑαυτὸν ὑπὲρ ἡμῶν, προσφορὰν καὶ θυσίαν
τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. 3 Πορνεία δὲ
καὶ πᾶσα ἀκαθαρσία* ἢ † πλεονεξία μηδὲ
ὀνομαζέσθω ἐν ὑμῖν (καθὼς πρέπει ἁγίοις)·
4 καὶ αἰσχρότης καὶ μωρολογία ἢ εὐτραπελία
(τὰ οὐκ ἀνήκοντα),‡ ἀλλὰ μᾶλλον εὐχαριστία.
5 Τοῦτο γάρ ἴστε§ γινώσκοντες ὅτι· πᾶς
πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης (ὅς* ἐστιν
εἰδωλολάτρης), οὐκ ἔχει κληρονομίαν ἐν τῇ
βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. 6 Μηδεὶς
ὑμᾶς ἀπατάτω κενοῖς λόγοις, διὰ ταῦτα γὰρ
ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς
ἀπειθείας. 7 Μὴ οὖν γίνεσθε συμμέτοχοι

---

† **4:32** δε **f**$^{35}$ 𝔓$^{49}$אA [96%] RP,HF,OC,TR,CP[NU] ¦ — 𝔓$^{46}$B [3%] ¦ ουν [1%] ‡ **4:32** θεος εν χριστω *rell* ¦ χριστος [2%] CP § **4:32** υμιν **f**$^{35}$ 𝔓$^{46}$אA [35%] TR,NU ¦ ημιν 𝔓$^{49}$B [65%] RP,HF,OC,CP * **5:3** πασα ακαθαρσια **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP ¦ 21 𝔓$^{46}$אA,B [3%] NU ¦ 1 [1%] † **5:3** η *rell* ¦ και [10%] ‡ **5:4** τα ουκ ανηκοντα **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ α 2 ανηκεν 𝔓$^{46}$אA,B [3%] NU § **5:5** ιστε **f**$^{35}$ 𝔓$^{46}$אA,B [30%] NU ¦ εστε [70%] RP,HF,OC,TR,CP * **5:5** ος **f**$^{35}$ A [96%] RP,HF,OC,TR,CP ¦ ο 𝔓$^{46}$אB [4%] NU

αὐτῶν 8 —ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν
Κυρίῳ.

*Walk in light*

Ὡς τέκνα φωτὸς περιπατεῖτε 9 (ὁ γὰρ καρπὸς
τοῦ Πνεύματος† ἐν πάσῃ ἀγαθωσύνῃ καὶ
δικαιοσύνῃ καὶ ἀληθείᾳ), 10 δοκιμάζοντες
τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. 11 Καὶ μὴ
συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ
σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. 12 (Τὰ γὰρ
κρυφῆ γινόμενα ὑπ᾽ αὐτῶν αἰσχρόν ἐστιν καὶ
λέγειν.) 13 Τὰ δὲ πάντα, ἐλεγχόμενα, ὑπὸ τοῦ
φωτὸς φανεροῦται, πᾶν γὰρ τὸ φανερούμενον
φῶς ἐστιν. 14 Διὸ λέγει· «Ἔγειραι,‡ ὁ
καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ
ἐπιφαύσει σοι ὁ Χριστός.»

*Walk in wisdom*

15 Βλέπετε οὖν πῶς ἀκριβῶς§
περιπατεῖτε, μὴ ὡς ἄσοφοι ἀλλ᾽ ὡς σοφοί,
16 ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι
πονηραί εἰσιν. 17 Διὰ τοῦτο μὴ γίνεσθε
ἄφρονες, ἀλλὰ συνιέντες* τί τὸ θέλημα
τοῦ Κυρίου. 18 Καὶ μὴ μεθύσκεσθε οἴνῳ,
ἐν ᾧ ἐστιν ἀσωτία· ἀλλὰ πληροῦσθε ἐν
Πνεύματι, 19 λαλοῦντες ἑαυτοῖς† ψαλμοῖς

---

† **5:9** πνευματος **f**35 𝔭46 (94.2%) RP,HF,OC,TR,CP ¦ φωτος 𝔭49אA,B,I (5.3%) NU ¦ three other variants (0.5%) ‡ **5:14** εγειραι **f**35 [80%] TR,CP ¦ εγειρε 𝔭46אA,B [20%] RP,HF,OC,NU § **5:15** πως ακριβως **f**35 (A) [97%] RP,HF,OC,TR,CP ¦ 21 𝔭46אB [3%] NU * **5:17** συνιεντες **f**35 [96%] RP,HF,OC,TR,CP ¦ συνιετε 𝔭46אA,B [3%] NU ¦ συνιοντες [1%] † **5:19** εαυτοις **f**35 אA [98%] RP,HF,OC,TR,CP ¦ 1 εν 𝔭46B [2%] [NU]

καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες
καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ‡ ὑμῶν τῷ Κυρίῳ·
20 εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων, ἐν
ὀνόματι τοῦ Κυρίου ἡμῶν, Ἰησοῦ Χριστοῦ, τῷ
Θεῷ καὶ Πατρί, 21 ὑποτασσόμενοι ἀλλήλοις
ἐν φόβῳ Θεοῦ.§

# Relationships within the home

*About wives*

22 Αἱ γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν
ὑποτάσσεσθε,* ὡς τῷ Κυρίῳ, 23 ὅτι† ἀνήρ
ἐστιν κεφαλὴ τῆς γυναικὸς ὡς καὶ ὁ Χριστὸς
Κεφαλὴ τῆς Ἐκκλησίας—καὶ αὐτός ἐστιν‡
Σωτὴρ τοῦ σώματος. 24 Ἀλλ᾽§ ὥσπερ* ἡ
Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτως
καὶ αἱ γυναῖκες τοῖς ἰδίοις† ἀνδράσιν ἐν
παντί.

*About husbands*

‡ **5:19** ψαλλοντες εν τη καρδια **f**35 (86.5%) RP,HF,OC,TR,CP ¦ 234 (7.8%) ¦ 134 𝔓46אB (0.8%) NU ¦ 12 ταις καρδιαις A (4.5%) ¦ two other variants (0.3%) § **5:21** θεου **f**35 [70%] TR ¦ χριστου 𝔓46אA,B [30%] RP,HF,OC,CP,NU ¦ ιησου χριστου [0.5%] ¦ one other reading * **5:22** υποτασσεσθε **f**35 (86.2%) RP,HF,OC,TR,CP ¦ υποτασσεσθαι (3.5%) ¦ υποτασσεσθωσαν אA,I (9.1%) ¦ υποτασσεσθω (0.7%) ¦ — 𝔓46B (alone) NU ¦ one other variant (0.2%) † **5:23** οτι **f**35 𝔓46אA,B [85%] RP,HF,CP,NU ¦ 1 ο [15%] OC,TR (OC is in small print.) ‡ **5:23** και αυτος εστιν **f**35 [97%] RP,HF,OC,TR,CP ¦ 2 𝔓46אA,B,IV,048 [3%] NU § **5:24** αλλ *rell* ¦ αλλα B [1%] NU * **5:24** ωσπερ **f**35 [95%] RP,HF,OC,TR,CP ¦ ως אA [3%] NU ¦ οτι 𝔓46 [1%] ¦ — B [1%] † **5:24** ιδιοις **f**35 A [98%] RP,HF,OC,TR,CP ¦ — 𝔓46אB [2%] NU

25 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας
ἑαυτῶν‡ καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν
τὴν Ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ
αὐτῆς, 26 ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας
τῷ λουτρῷ τοῦ ὕδατος· ἐν ῥήματι, 27 ἵνα
παραστήσῃ αὐτὴν§ ἑαυτῷ—ἔνδοξον τὴν
ἐκκλησίαν—μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι
τῶν τοιούτων, ἀλλ᾽ ἵνα ᾖ ἁγία καὶ ἄμωμος.
28 Οὕτως ὀφείλουσιν οἱ ἄνδρες* ἀγαπᾶν τὰς
ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα·
ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν
ἀγαπᾷ. 29 Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα
ἐμίσησεν· ἀλλὰ† ἐκτρέφει καὶ θάλπει αὐτήν,
καθὼς καὶ ὁ Κύριος‡ τὴν Ἐκκλησίαν 30 —
ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς
σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.§
31 «Ἀντὶ τούτου καταλείψει ἄνθρωπος
τὸν* πατέρα αὐτοῦ† καὶ τὴν‡ μητέρα καὶ

---

‡ **5:25** εαυτων **f**35 [98%] RP,HF,OC,TR,CP ¦ — ℵA,B,048 [2%] NU ¦ one other reading § **5:27** αυτην **f**35 [97%] RP,HF,OC,TR,CP ¦ αυτος 𝔭46ℵA,B [3%] NU * **5:28** οφειλουσιν οι ανδρες **f**35 ℵ [95%] RP,HF,OC,TR,CP ¦ 1 και 23 𝔭46B [3%] [NU] ¦ και 231 A,048V [2%] † **5:29** αλλα **f**35 A,B [60%] CP,NU ¦ αλλ ℵ [40%] RP,HF,OC,TR ‡ **5:29** κυριος **f**35 [80%] RP,HF,OC,TR,CP ¦ χριστος 𝔭46ℵA,B,048 [20%] NU § **5:30** εκ της σαρκος αυτου και εκ των οστεων αυτου **f**35 (93.3%) RP,HF,OC,TR,CP ¦ 12345789 (2.5%) ¦ 56789 (0.5%) ¦ — 𝔭46ℵA,B,048 (2.3%) NU ¦ six other variants (1.3%) (The omission is a not very difficult case of homoioteleuton.) * **5:31** τον **f**35 𝔭46ℵA,048 [99%] RP,HF,OC,TR,CP[NU] ¦ — B [1%] † **5:31** αυτου **f**35 A [97%] RP,HF,OC,TR,CP ¦ — 𝔭46ℵB [3%] NU ‡ **5:31** την **f**35 𝔭46ℵA,048 [99%] RP,HF,OC,TR,CP[NU] ¦ — B [1%]

προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ,
καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.» 32 Τὸ
μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς
Χριστὸν καὶ εἰς§ τὴν Ἐκκλησίαν.
33 Πλὴν καὶ ὑμεῖς οἱ καθ᾽ ἕνα·* ἕκαστος τὴν
ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑαυτόν, ἡ
δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα.

# 6

## *About children*

1 Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν
ἐν Κυρίῳ,* τοῦτο γάρ ἐστιν δίκαιον. 2 «Τίμα
τὸν πατέρα σου καὶ τὴν μητέρα»—ἥτις ἐστὶν
ἐντολὴ πρώτη† ἐν ἐπαγγελίᾳ— 3 «ἵνα εὖ σοι
γένηται καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς.»
4 Καὶ οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα
ὑμῶν, ἀλλ᾽‡ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ
νουθεσίᾳ Κυρίου.

## *About slaves and masters*

5 Οἱ δοῦλοι, ὑπακούετε τοῖς κυρίοις κατὰ
σάρκα§ μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι

---

§ **5:32** εις **f**$^{35}$ 𝔭$^{46}$אA [85%] RP,HF,OC,TR,CP,NU ¦ — B [15%] * **5:33** καθ᾽ ἑνα *rell* ¦ καθένα **f**$^{35}$ (I include this for the record and so as not to lose sight of it, but since there is evidently no difference in meaning I stay with the conventional spelling. Since the shift from τ to θ is caused by aspiration, there is no ambiguity). * **6:1** εν κυριω **f**$^{35}$ 𝔭$^{46}$אA,I$^{V}$ [99%] RP,HF,OC,TR,CP[NU] ¦ — B [1%] † **6:2** εντολη πρωτη *rell* ¦ 21 CP ‡ **6:4** αλλ *rell* ¦ αλλα אA,B [2%] NU § **6:5** κυριοις κατα σαρκα **f**$^{35}$ 𝔭$^{46}$ [95%] RP,HF,OC,TR,CP ¦ 231 אA,B [5%] NU

τῆς* καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ· 6 μὴ
κατʼ ὀφθαλμοδουλίαν,† ὡς ἀνθρωπάρεσκοι,
ἀλλʼ ὡς δοῦλοι τοῦ‡ Χριστοῦ, ποιοῦντες τὸ
θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, 7 μετʼ εὐνοίας
δουλεύοντες,§ τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις,
8 εἰδότες ὅτι ὃ ἐάν τι ἕκαστος* ποιήσῃ ἀγαθόν,
τοῦτο κομιεῖται† παρὰ τοῦ‡ Κυρίου, εἴτε
δοῦλος εἴτε ἐλεύθερος.
9 Καὶ οἱ κύριοι, τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτούς,
ἀνιέντες τὴν ἀπειλήν, εἰδότες ὅτι καὶ ὑμῶν
αὐτῶν§ ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ
προσωποληψία* οὐκ ἔστιν παρʼ† αὐτῷ.

## Spiritual warfare

10 Τὸ λοιπόν,‡ ἀδελφοί μου,§ ἐνδυναμοῦσθε
ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ.
11 Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς
τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας

---

* **6:5** της **f**$^{35}$ 𝔓$^{46}$A,B [80%] RP,HF,OC,TR,NU ¦ — ℵ [20%] CP † **6:6** οφθαλμοδουλιαν **f**$^{35}$ [40%] OC,NU ¦ οφθαλμοδουλειαν ℵA,B [60%] RP,HF,TR,CP ‡ **6:6** του **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ — ℵA,B [5%] NU § **6:7** δουλευοντες **f**$^{35}$ [70%] TR ¦ 1 ως ℵA,B [30%] RP,HF,OC,CP,NU * **6:8** ο εαν τι εκαστος **f**$^{35}$ [91%] RP,OC,TR,CP ¦ 234 [4%] HF ¦ 412 A [4%] ¦ 423 B,NU ¦ two other readings ℵ † **6:8** κομιειται **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ κομισεται 𝔓$^{46}$ℵA,B [3%] NU ‡ **6:8** του **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP ¦ — 𝔓$^{46}$ℵA,B [10%] NU § **6:9** υμων αυτων **f**$^{35}$ [95%] RP,HF,OC,TR ¦ 2 και 1 𝔓$^{46}$A,B [4%] NU ¦ εαυτων και 1 ℵ [1%] ¦ 1 και 2 CP * **6:9** προσωποληψια *rell* ¦ προσωπολημψια ℵA,B [2%] NU † **6:9** παρ *rell* ¦ εν [10%] ‡ **6:10** το λοιπον **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ του λοιπου 𝔓$^{46}$ℵA,B,I [3%] NU § **6:10** αδελφοι μου **f**$^{35}$ (88.8%) RP,HF,OC,TR,CP ¦ 1 (A) (7.9%) ¦ — 𝔓$^{46}$ℵB,I (3.3%) NU

τοῦ διαβόλου. 12 Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη
πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς,
πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας
τοῦ σκότους τοῦ αἰῶνος* τούτου, πρὸς τὰ
πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.
13 Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ
Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ
πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι, στῆναι.
14 Στῆτε οὖν, περιζωσάμενοι τὴν ὀσφὺν
ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι
τὸν θώρακα τῆς δικαιοσύνης, 15 καὶ
ὑποδησάμενοι† τοὺς πόδας ἐν ἑτοιμασίᾳ
τοῦ εὐαγγελίου τῆς εἰρήνης· 16 ἐπὶ‡ πᾶσιν,
ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν
ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ
τὰ§ πεπυρωμένα σβέσαι· 17 καί, τὴν
περικεφαλαίαν τοῦ σωτηρίου δέξασθαι* καὶ
τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστιν ῥῆμα
Θεοῦ· 18 διὰ πάσης προσευχῆς καὶ δεήσεως
προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν Πνεύματι,
καὶ εἰς αὐτὸ τοῦτο† ἀγρυπνοῦντες ἐν πάσῃ
προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν
ἁγίων— 19 καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθῇ‡ λόγος,

---

* **6:12** του αιωνος **f**35 (97.2%) RP,HF,OC,TR,CP ¦ — 𝔓46אA,B (2.8%) NU † **6:15** υποδησαμενοι *rell* ¦ υποδυσαμενοι [25%] ‡ **6:16** επι **f**35 A [97%] RP,HF,OC,TR,CP ¦ εν 𝔓46אB [3%] NU § **6:16** τα **f**35 אA [99%] RP,HF,OC,TR,CP[NU] ¦ — 𝔓46B [1%] * **6:17** δεξασθαι **f**35 A [94%] RP,HF ¦ δεξασθε 𝔓46אB [5%] OC,TR,CP,NU ¦ — [1%] † **6:18** τουτο **f**35 [97%] RP,HF,OC,TR,CP ¦ — אA,B [3%] NU ‡ **6:19** μοι δοθη **f**35 A,B [95%] RP,HF,OC,CP,NU ¦ 21 א ¦ 1 δοθειη [5%] TR

ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παρρησίᾳ
γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου,
20 ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει· ἵνα ἐν αὐτῷ
παρρησιάσωμαι, ὡς δεῖ με λαλῆσαι.

## Closing greetings

21 Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς§ τὰ κατ᾽ ἐμέ, τί
πράσσω, πάντα ὑμῖν γνωρίσει* Τυχικός, ὁ
ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν
Κυρίῳ· 22 ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο·
ἵνα γνῶτε τὰ περὶ ἡμῶν καὶ παρακαλέσῃ τὰς
καρδίας ὑμῶν.

23 Εἰρήνη τοῖς ἀδελφοῖς, καὶ ἀγάπη μετὰ
πίστεως, ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ
Χριστοῦ.

24 Ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν
Κύριον ἡμῶν, Ἰησοῦν Χριστόν, ἐν ἀφθαρσίᾳ.

---

§ **6:21** ειδητε και υμεις **f**[35] B (83.4%) RP,HF,OC,TR,CP,NU ¦ ιδητε 23 (4%) ¦ 231 I (9.3%) ¦ 23 ιδητε אA (1.7%) ¦ 1 𝔓[46] (0.8%) ¦ five variants with ημεις (0.8%) * **6:21** υμιν γνωρισει **f**[35] A [95%] RP,HF,OC,TR,CP ¦ 21 𝔓[46]אB [5%] NU

Ἀμήν.†,‡

† **6:24** αμην **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ — 𝔭$^{46}$אA,B [3%] NU

‡ **6:24** The citation of **f**$^{35}$ is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1617, 1637, 1725, 1732, 1761, 1855, 1864, 1865, 1892, 1897, 2080, 2352, 2431, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 928, 1864, 2554 and 2723 are 'perfect' representatives of **f**$^{35}$ in Ephesians, as they stand, as were the exemplars of another ten. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [eight different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception. In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A$^{27}$, supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources. I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

# Η Καινή Διαθήκη
## The Greek New Testament According to Family 35, Wilbur Pickering

Copyright © 2020 Wilbur N. Pickering

Language: Ελληνική (Greek, Ancient)

Dialect: Koine

Contributor: Dwayne Green, Robert A. Boyd

This translation is made available to you under the terms of the Creative Commons Attribution-Noncommercial-No Derivatives license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:
You include the above copyright and source information.
You do not sell this work for a profit.
You do not change any of the words or punctuation of the Scriptures.
Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.

2022-10-28

---

PDF generated using Haiola and XeLaTeX on 11 Nov 2022 from source files dated 11 Nov 2022
cf64fb6f-e463-5ebb-820f-5a4a7bb37b73